
φία καὶ ὅσα τούτοις παρόμοια· δι' ὧν ἐξομοιοῦται τῷ Θεῷ κατὰ
τὸ δυνατὸν ἡ ψυχή· ἥτις καὶ ἐρωτωμένη τὴν ἀλήθειαν ἀποκεί-
νεται· ἡ τοιαύτη γὰρ οὐ φθονεῖ· οὐ μισεῖ· οὐ ζηλοῖ· οὐ τὰ ἑ-
αυτῆς ζητεῖ· ἀλλὰ τὰ τῶν πολλῶν· καθὰ φησὶ Παῦλος ὁ
θεῖος· Τὴν δέ γε μὴ φθάσασαν εἰς τὸν τῆς ἀπαθείας λιμένα,
φθόνος· ζῆλος· ὀργή· ἀντιλογία δηλονότι περιέχει· οὔπω γὰρ
οἶδε τὸ τοῦ θείου Μαξίμου, τὸ κρεῖττον ἡττᾶσθαι καλῶς, ἢ
νικᾶν ἐπισφαλῶς καὶ ἀθέσμως· καὶ ὀκνῶ λέγειν, διὰ τὸν
κόρον τοῦ λόγου· ὅσοι κατὰ τὴν παλαιὰν ἱστορίαν διὰ τῆς
ἀντιλογίας, οὐ μόνον Θεοῦ ἀπερράγησαν, ἀλλὰ καὶ μετ' ἤχου
τὸ μνημόσυνον αὐτῶν ἀπώλετο, ὡς οἱ περὶ Δαθὰν καὶ Ἀ-
βειρών, ἢ καὶ αὐτὴ ἡ Μαρία Μωσέως· ἀλλὰ καὶ Ζαχαρίας ὁ με-
γας ὁ τοῦ Προδρόμου γεννέτης ἀντιλέξας τῷ θείῳ ἀγγέλῳ,
ἀφωνίαν κατεδικάσθη· οὐκοῦν πειθέτω σε καὶ αὐτὸ τὸ τοῦ
θείου Δαβὶδ λόγιον, τὸ ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην· ἑτοιμα-
σίαν αἰνιττομένου, ἢ τὴν διὰ βαπτίσματος ἀναγέννησιν, ὡς
τελειοποιὸν οὖσαν, ἢ τὴν ἐξ ἀγῶνος καὶ καμάτου ἀνακαίνισιν,
καὶ ἀπόνιψιν τῶν ἡμαρτημένων· ἃ δὴ καὶ ἀπονιψάμενος διὰ
τῶν δακρύων, ἔφθασε πρὸς τὴν τελείωσιν τοῦ λουτροῦ τῆς
ἀναγεννήσεως· εἰ γὰρ ἡτοιμάσθης πρὸς τὸν δρόμον τῆς

# XXII НАУЧНАЯ КОНФЕРЕНЦИЯ ПАМЯТИ Н.Ф. КАПТЕРЕВА